νὴν; οἱ πρὸς διαμεμετρημένην τὴν ἡμέραν ἐπὶ τῶν στιβάδων κατακείμενοι, καὶ τὰ δεῖπνα τοῖς ἀρίστοις συνάπτοντες, καὶ τὴν γαστέρα διαῤῥηγνύντες, καὶ τὰς αἰσθήσεις πηροῦντες, καὶ τῷ ὑπερόγκῳ τῶν ἐδεσμάτων φορτίῳ τὸ πλοῖον καταποντίζοντες, καὶ ὑπέραντλον ποιοῦντες τὴν ναῦν, καὶ καθάπερ ἐν ναυαγίῳ τῷ σώματι κατακλύζοντες αὐτὴν, καὶ πέδας, καὶ χειροπέδας, καὶ γλωσσοπέδας ἐπινοοῦντες, καὶ ἅπαν αὐτῶν καταδεσμοῦντες τὸ σῶμα, ἁλύσεως σιδηρᾶς χαλεπωτέρῳ δεσμῷ τῷ τῆς μέθης καὶ τῆς τρυφῆς, καὶ μήτε ὕπνον αἱρούμενοι γνήσιον καὶ εἰλικρινῆ, μήτε ὀνειράτων ἀπηλλαγμένοι φοβερῶν, τῶν τε μαινομένων ὄντες ἀθλιώτεροι, καὶ αὐθαίρετόν τινα δαίμονα ἐπεισάγοντες τῇ

*liquida perfruantur voluptate: qui ad dimensum diem super toros accumbunt, cœnas cum prandiis copulant, ventrem disrumpunt, sensus deprauant, immodico eduliorum onere nauigium demergunt, sentinam inexhaustam & exundantem reddunt, & tanquam in corporis naufragio nauem undis obruunt, pedicas, manicas, & linguæ vincula nectunt, totumque corpus suum vinciunt vinculo ebrietatis & luxus grauiore quàm ferrea catena, ac nec sincerum & purum capiunt somnum, neq; ab horribilibus insomniis liberi sunt, furentibusque miseriores, voluntarium quendam dæmonem in animum indu-*